## CIII

Ἄρεος ἔντεα ταῦτα τίνος χάριν, ὦ Κυθέρεια,
ἐνδέδυσαι, κενεὸν τοῦτο φέρουσα βάρος;
αὐτὸν Ἄρη γυμνὴ γὰρ ἀφώπλισας· εἰ δὲ λέλειπται
καὶ θεός, ἀνθρώποις ὅπλα μάτην ἐπάγεις.

# MNASALCES

## I

ἄμπελε, μήποτε φύλλα χαμαὶ σπεύδουσα βαλέσθαι
δείδιας ἑσπέριον Πλειάδα δυομέναν;
μεῖνον ἐπ' Ἀντιλέοντι πεσεῖν ὑπὸ τὶν γλυκὺν ὕπνον,
ἐς τότε τοῖς καλοῖς πάντα χαριζομένα.

## II

τοῦτό τοι, Ἄρτεμι δῖα, Κλεώνυμος εἷσατ' ἄγαλμα
†τοῦτο σὺ δ' εὐθήρου τοῦδ' ὑπέρισχε βίου†,
ἥ τε κατ' εἰνοσίφυλλον ὄρος ποσί, πότνια, βαίνεις,
δεινὸν μαιμώσαις ἐγκονέουσα κυσίν.

## III

σοὶ μὲν καμπύλα τόξα καὶ ἰοχέαιρα φαρέτρα,
δῶρα παρὰ Προμάχου, Φοῖβε, τάδε κρέμαται·